Εἰρήνης ἕνα.] ὥσπερ ἐλεῖ εἰς κοχλιάριον ἕν. ἐςὶ δὲ λήκυθος A ἢ ὅσα μὴ ἔχοι. τῆς οὖν ἐςὶ λαβέσθαι. Ὡς οὐκ ἂν ἐγχέαιμι] παραιτεῖται ὁ Δικαιόπολις μεταδοῦναι τῆς εἰρήνης. Ἡ νυμφεύτεια] ἔρχεται νυμφεύτρια δεομένη Δικαιοπόλιδος καὶ λέγουσα, ὅτι ἀπέπεμψε με τῆς νύμφη ὁ ἐνθάδε σε πρὸς τὸ λαβεῖν τῆς εἰρήνης, ὅπως ἀλείφῃ τὸ αἰδοῖον τοῦ ἀνδρὸς αὐτῆς καὶ μὴ ἐξέρχοιτο εἰς πόλεμον. κωφὸν δὲ εἰσάγει τὸ πρόσωπον τῆς νυμφευτείας. Φέρε δὴ τί σὺ λέγεις.] παραθεὶς τὸ ὡς ἤκουσεν ὁ Δικαιόπολις τῆς νυμφευτείας. Ὡς γελοῖον] κράζων καὶ ἀσεβευόμενον ὁ Δικαιόπολις ἐφ' οἷς ἤκουσε παρὰ τῆς νυμφευτείας λέγει τό, ὡς γελοῖον ὦ θεοὶ τὸ δέημα τῆς νύμφης. τὸ δὲ δέημα αὐτῆς ἐστι, μικρὸν τῆς εἰρήνης λαβεῖν ὅπως ἀλείφοι ταύτῃ τὸ αἰδοῖον τοῦ ἀνδρὸς κατὰ τὰς νύκτας καὶ μὴ ἐς πόλεμον ἐξέρχοιτο. B

Ὅπως ἂν οἰκουρῇ τὸ πέος.] ἀντὶ τοῦ εἰπεῖν τὴν οἰκίαν, εἶπε τὸ πέος. Ὑπεχ' ὧδε δεῦρο] πρόσφερε τὸ ἀλάβαςρόν φησιν, ἐξ οὗ ἀλείφονται οἱ δειπνοῦντες, τοῦ μύρου λήκυθον. κατ' ἐρώτησιν δὲ τὸ ἀναγνωςέον. τὸ δὲ ἑξῆς ὡς συμβουλεύοντος καὶ ὑποτιθεμένου πῶς αὐτῷ δεῖ χρῆσθαι.

BISETUS. Φράζε] λέξον. παρὰ τὸ φράω, φρῶ, φράσω, ἔφρασα, φράζε, φρασάτω. ταυτὸν τῷ φράζε, ὁ παρὰ τὸ φράζω, τὸ λέγω. ἀλλ' ἴσως χαριέστερον φράζε, ὅπερ μᾶλλον ἐν χρήσει.

Σχόλια. Καταλείφωσι τουτωί.] τῷ ἀλείμματι. λέγει δὲ τῇ εἰρήνῃ. τὸ δὲ καταλείφωσιν, ἀντὶ τοῦ καταχρίωσιν. Οἰνήρυσιν] τὴν τοῦ οἴνου κοτύλην ᾗ ἀρύονται. Τὰς ὀφρῦς ἀνεσπακώς.] ἐσκυθρωπακώς.

---

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ, Σκηνὴ ἑβδόμη.

## ACTVS IV. SCENA septima.

ΑΓΓΕΛΟΣ, ΛΑΜΑΧΟΣ, ΔΙΚΑΙΟΠΟΛΙΣ, ἕτερος ΑΓΓΕΛΟΣ. C

NVNCIVS, LAMACHVS, DICÆOPOLIS, alter NVNCIVS.

BISETVS. Ἄγγελος αἰφνιδίας τῶν πολεμίων εἰσβολὰς Λαμάχῳ ἀγγέλλει, καὶ ταχέως ὁπλίζεσθαι κελεύει. κατὰ τὸν αὐτὸν χρόνον ἕτερος ἄγγελος Δικαιόπολιν ἐπὶ δεῖπνον καλεῖ, ὅπερ ὁ τοῦ Διονύσου ἱερεὺς παρασκευάζει. ἐντεῦθεν Δικαιόπολις καλὴν ἀφορμὴν λαβὼν τὸν Λάμαχον καταγελᾷ, καὶ τὸν αὐτοῦ ὁπλισμὸν ἐκφαυλίζει, καὶ τῶν πολεμικῶν δυστυχιῶν τὰς εἰρήνης ὠφελείας, καὶ ἡδονὰς ἀστείως προτίθησι.

Αγ. Ἰὼ πόνοι τε καὶ μάχαι καὶ Λάμαχοι.
Λα. Τίς ἀμφιχαλκοφάλαρα δώματα κτυπεῖ; D
Αγ. Ἰέναι σ' ἐκέλευον οἱ ςρατηγοὶ τήμερον,
Ταχέως λαβόντα σοὺς λόχους καὶ σοὺς λόφους.
Κἄπειτα τηρεῖν νιφόμενον τὰς εἰσβολάς.
Ὑπὸ τοὺς Χόας γὰρ καὶ Χύτρους αὐτοῖσί τις
Ἤγγειλε λῃςὰς ἐμβαλεῖν Βοιωτίους.
Λα. Ἰὼ ςρατηγοὶ πλείονες ἢ βελτίονες.
Δικαιοπ. Οὐ δεινὰ μὴ ξεῖναι με μηδ' ἑορτάσαι; E
Ἰὼ ςράτευμα πολεμολαμαχαϊκόν.
Λα. Οἴμοι κακοδαίμων. καταγελᾷς ἤδη σύ μου;
Δι. Βούλει μάχεσθαι Γηρυόνῃ τετραπτίλῳ;
Λα. Αἰαῖ. οἵαν ὁ κῆρυξ ἀγγελίαν ἤγγειλέ μοι.
Δικ. Αἰαῖ. τίνα δ' αὖ μοι προσρέχει τις ἀγγελῶν;
Αγ. Δικαιόπολι. Δι. τί ἐςιν; Αγ. ἐπὶ δεῖπνον ταχὺ F

NV. EHò labores pugnæ, lamæ & lamachi.
LA. Quis hic circa domum ære phaleratam strepit?
NV Proficisci te iubent duces exercitus,
Cum cristis & cohortibus hodie illicò:
Et niue tectum cauere incursus hostium.
Nam sub Choas, & Chytros quidam modò retulit
Ipsis, latrones incurrere Bœotios.
LA. Vah plures, quàm meliores militum duces.
DI. Nõne hoc graue, ne licere antè quidē Choas
Agere? hei, militiam bellolamachaicam.
LA. Hei misero mihi, numquid tu me ludibrio habes?
DI. Vin' tu pugnare cum Geryone, quattuor
Pinnis cristato? LA. ah ah, quod nuncium mihi
Præco modò nunciauit. DI. ah ah, quis mihi
Accurrit nuncius, quidue affert huc rei?
NV. alt. Dicæopoli. DI. quid est? NV. N. ad cœnam celeriter

Σχόλ. Ἰὼ πόνοι τε] ἔρχεταί τις εἰς πόλεμον καλῶν τὸν Λάμαχον. Ἀμφιχαλκοφάλαρα] ἀντὶ τοῦ πολυχαλκα. τραγικώτερον δὲ λέγει, διὰ τὸ μεγαλόρρημον Λαμάχου. Λόχους.] ἔνιοι μὲν τὸ ἐξ ἀνδρῶν ὀκτὼ σύςημα. οἱ δὲ τὸ ἐξ ἀνδρῶν δώδεκα. οἱ δὲ τὸ ἀπὸ ἑκκαίδεκα ἀνδρῶν πλῆθος, ὅ καὶ τέλειόν φασι καὶ σύμμετρον. καὶ λοχαγὸς προςάτης καὶ ἡγεμών, ὁ αὐτὸς ὁ ἐπὶ πρῶτος καὶ ἄριςος τοῦ λόχου. παρὰ δὲ Λακεδαιμονίοις ὑπῆρχον τέσσαρες λόχοι οἷς ἐκέχρητο ὁ βασιλεύς, ὡς ἀλλαχοῦ Ἀριςοφάνης. Γνώσεσθε ὅτι καὶ παρ' ἡμῖν εἰσὶ λόχοι τέσσαρες μαχίμων ἀνδρῶν ἔνδον ἐξωπλισμένων. καὶ καταλοχίσαι τὸ εἰς λόχους καταμερίσαι τὸ πλῆθος τοῦ ςρατοῦ. λόφους δὲ περικεφαλαίας. λόφος γὰρ καὶ τὸ περικεφαλαίας ἄκρον καὶ γῆς ἀνάςημα. Τὰς εἰσβολάς.] τὰς εἰσόδους τῶν πολεμίων ςρατ. νιφόμενον δέ, ὡς χιόνος οὔσης. Ὑπὸ τοὺς Χόας γάρ.] Θεόπομπος τοὺς διασωθέντας ἐκ τοῦ κατακλυσμοῦ ἑψῆσαι φησὶ χύτρας πανσπερμίας, ὅθεν οὕτω κληθῆναι τὴν ἑορτήν. καὶ θύειν τοῖς χυσὶν Ἑρμῇ χθονίῳ. τῶν δὲ χυτρῶν οὐδένα γεύσασθαι. τοῦτο δὲ ποιῆσαι τοὺς περισωθέντας ἱλασκομένους τὸν Ἑρμῆν, καὶ περὶ τῶν ἀποθανόντων. ἤγετο δὲ ἡ ἑορτὴ Ἀνθεςηριῶνος τρίτῃ ἐπὶ δέκα ὡς Φιλόχορος. ἄλλως. ἐν μιᾷ ἡμέρᾳ ἄγονται οἵ τε Χύτροι καὶ οἱ Χόες ἐν Ἀθήναις, τῷ Διονύσῳ καὶ Ἑρμῇ. οὕτω Δίδυμος. Ἐμβαλεῖν Βοιωτίους.] πολέμιοι γὰρ ἦσαν οἱ Βοιωτοί. ἐν τοῖς ἄνω οὐδὲ ὁ Δερκέτης ἔφη, ὅτε Βοιωτοί τινες ἀφείλοντό μου τὸ ζεῦγος τῶν βοῶν. Οὐ δεινὰ μὴ ξεῖναι με.] ὁ Δικαιόπολις δεινόν φησι μὴ ἐξουσίαν ἔχειν με ἑορτάσαι, ἴσως διὰ τὸν τοῦ ςρατιωτοῦ θόρυβον. Πολεμολαμαχαϊκόν.] ἔμφασιν ἔχει ὥσπερ ἔφη, ξενικὸν ἢ Κορινθιακόν. Καταγελᾷς ἤδη σύ μου] διὰ τὸ εἰπεῖν πολεμολαμαχαϊκόν. Βούλει μάχεσθαι Γηρυόνῃ] G